Επιτύμβια επιγράμματα: η δημιουργία συναισθηματικής κοινότητας και η ψευδαίσθηση της μεταθανάτιας ζωής

Ἄγγελος Χανιώτης

1. I.Smyrna 359, Σμύρνη, 3ος αι. μ.Χ.: νὺξ μὲν ἐμὸν κατέχει ζωῆς φάος ὑπνοδοτείρη, | ἀλγ̣εινῶ̣ν λύσασα νόσων δέμας ἡδέϊ ὕπνωι, | λήθης δῶρα φέρουσ’ ἐπ’ ἐμοὶ προστ<άγ>μασι Μοίρης· | ψυχὴ δ’ ἐ<κ> κραδίης δ̣ράμ’ ἐς αἴθερον εἴκελος αὔρηι | κοῦφον ἐπαιωροῦσα δρόμω̣<ι> πτερὸν ἠέρι πολλῶι, | καί με θεῶν μακάρων κατέχει δόμος ἆσσον ἰόντα, | οὐρανίοις τε δόμοισι βλέπω φάος Ἠριγ̣ενείης. | τειμὴ δ’ ἐκ Διός ἐστι σὺν ἀθανάτοισι θεοῖσι | Ἑρμείαο λόγοις· ὅς μ’ οὐρανὸν ἤγαγε χειρῶν | αὐτίκα τειμήσας καί μοι κλέος ἐσθλὸν ἔδωκεν | οἰκεῖν ἐν μακάρεσσι κατ̣’ οὐρανὸν ἀστερόεντα, | χρυσείοισι θρόνοισι παρήμενον ἐς φιλότητα, | καί με παρὰ τριπόδεσσι καὶ ἀμβροσίῃσι τραπέζαι[ς] | ἡδόμενον κατὰ δαῖτα θεοὶ φίλον εἰσορόωσιν, | κρατὸς ἀπ’ ἀθανάτοιο πα{τ}ρη<ΐ>σι μειδιόωντες | [νέκταρ ὅτ’ ἐν] προχοαῖσιν ἐπισπένδω μακάρεσσι.

2. Ευμένεια, SEG VI 210, 3ος αι. μ.Χ.: μηδεὶς δ’ οὖν πλούτῳ τυφλωθεὶς [κοῦ]φα φρονείτω, / πᾶσι γὰρ εἷς Ἅιδης καὶ τέ{θ}λος ἐστὶν ἴσον. / ἔστιν τις μέγας ὢν ἐν κτήμασιν; οὐ πλέον οὗτος, / ταὐτὸ μέτρον γαίης πρὸς τάφον ἐκδέχεται. / σπεύδετε, τὴν ψυχὴν εὐφραίνετε πάντοτε, [θ]νη[τοί], / ὡς ἡδὺς βίοτος, καὶ μέτρον ἐστι ζοῆς. / ταῦτα, φίλοι μετὰ ταῦτα τί γὰρ πλέον; οὐκέτι ταῦτα· / στήλλη ταῦτα λαλεῖ καὶ λίθος, οὐ γὰρ ἐγώ. /

3. Ευύδριον, SEG XLV 641, 2ος/3ος αι. μ.Χ.: Ἣν ἐσορᾷς στήλην μεστὴν ἐ|σορᾶς, φίλε, πένθους. | Κάτθνε γὰρ Ζώη οὔνομα κλησκομένη ὀκτωκαιδεκέτης, λείψα|σα γονεῦσι δάκρυα | καὶ πάπποις τὰ ὅμοια, οὗπερ γαίης λίπε πένθη. | Ἦν δὲ γάμῳ ζευχθε<ῖ>σα κύ|ησέ τε <τ>έκνον ἄωρον, οὗ τεχθέντος ἄφωνος λίπεν φάος ἠελίοιο.

Πηνειὸς δὲ πατὴρ χεύων | δάκρ<υ> θῆκε τόδ᾽ ἔργον | σύν τε φίλῃ ἀλόχῳ, οἷς ἦν | τέκνον ἕν τε κοὐκ ἄλλο. | Οὐδὲ γὰρ ἐξ αὐτῆς ἔσχον | τέκνον φῶ⟨ς⟩ λιπούσης | ἀλλ᾽ ἄτεκνοι λύπῃ καρ|τέρεον βίοτον

4. Ερυθρές, I.Erythrai 306, 1ος αι. π.Χ.: [ὀκτ]ω̣καιδεχέτη δαίμων ἥ̣[ρπαξέ μ’ ἀφειδής] | Φωτινὸν πένθος θρεψαμένοισι π̣[ικρόν·] | οὔνομα δ’ ἐστὶν ἐμὸν ψευδήγορον· οὐ γ̣[λυκὺ φέγγος] ¦ ἀλλ’ Ἀίδην ἐσορῶ̣ι λυγρὸν ἐπιχθονίοις

5. Αθήνα, SEG XLVI 286, 2ος αι. μ.Χ.: Παράμονος Εὐόδου Πειρεύς, ἔφηβος Ἀθηναῖος, πλειστάκις εὐφρανθεὶς ὀλίγοις | ἔτεσιν μετὰ πολλῶν ὧε κάτω κεῖμαι βαθεῖ βεβλημένος ὕπνῳ, σὺν Κάστορι καὶ Πολυδεύκῃ, ἄστρων χῶρον ἔχων, Θησεύς εἰμι νέος.

6. Αλεξάνδρεια Τρωάς, I.Alexandreia/Troas 90, 3ος μ.Χ. αι.: [ἔστ]ιν τούνομά μοι Ἀφροδείσιος, ὦ παροδεῖτα· | [ε]ἰμὶ δ’ Ἀλεξανδρεύς, τῶν δὲ χορ⟨ῶν⟩ ὁ μέσος· [θν]ήσκω δ’ οἰκτροτάτῳ θανάτῳ διὰ τὴν ἄλοχόν μου, [κ]λεψίγαμον μιεράν, ἣν περὶ Ζεὺς ὀλέσει· | ταύτη<ς> γὰρ λάθριος γαμέτης κἀμὸν γένος, Λύχων, σφάξ[ε] με κἀφ’ ὕψους δισκοβόλησεν νέον· δισδέκατον γὰρ ἔτος κατέχοντά με, κάλλος ἔχοντα κλώσασαι μοῖραι πέμψαν ἄγαλμ’ Ἀΐδῃ.

7. Νότιον, Merkelbach - Stauber, Steinepigramme I, 365-366, αυτ. εποχή: ἡνίκα δ’ ἠέλιος μὲν ἔδυ πρὸς δώματα [νυκτός,] | δειπνήσας, ἦλθον μετὰ τοῦ μήτρω λο[έσασ]|θαι, κεὐθύς με Μοῖραι προκαθίζανον εἰς φ[ρέ]|αρ αὐτοῦ· ἔγδυνον γὰρ ἐγὼ{ι} καὶ ἀπῆγέ με | Μοῖρα κακίστη. χὠς εἶδεν δαίμων με | κάτω, παρέδωκε Χ[άρ]ωνει· αὐτὰρ ὁ | μήτρως μου ψόφον ἤκουσεν φρεα|τισμοῦ, κεὐθύς μ’ ἐζήτει γ’ ἄρ̣’· ἐγὼ δὲ οὐκ ἐλ|πίδ’ ἂν εἶχον ζωῆς τῆς κατ’ ἐμαυτὸν ἐν ἀνθρώ|ποισι μιγῆναι. ἔτρεχεν ἡ νάννη καὶ σχείζει | τόν γ̣ε̣ χιτῶνα· ἔτρεχε κὴ μήτηρ καὶ ἵστα|το ἥγ̣ε̣ τυπη̣τόν. κεὐθὺς Ἀλεξάνδρῳ πρὸς | γούνατα πρόσπεσε νάννη, κοὐκέτ’ ἔμελ|λεν ἰδών, ἐνπήδα δ’ εἰς φρέαρ εὐθύς. | ὡς εὗρέν με κάτω βεβυθισμένον ἐξ̣ήνεν|[κ]ε̣ν ἐ<ν> κοφίνῳ· κεὐθὺς δὴ νάννη με διάβρο|χον ἥρπασε θᾶσ<σ>ον, σκεπτομένη ζω|ῆς ἥ<ν> τιν’ ἔχω μερίδα· ὢ δ’ ἐμὲ τὸν | [δύσ]τηνον τὸν οὐκ ἐφιδόντα παλαίσ|[τρα]ν, ἀλλ’ ἤδη τριετῆ [- -] Μοῖρα [κάλ]υ̣ψε κακή.

8. Αφροδισιάδα, SEG LX 1082, περ. 200 μ.Χ.: Τύμβον σοι, Φι[λά]δελφε, καταφθιμένωι ἐμόγησα, | Ἑλενίς, ἡ μήτηρ, ὧι ἐπέγραψα πάρος· | πῶς ἔθανες; ποίοισι τόποις; τίνος ἧς ἀκόλουθος; | ζητοῦσα ψυχὴν τέκνου κατατεθν[ε]ῶτος, | τῷ καὶ ἑκοῦσα τέκνῳ καταβήσομαι δόμον εἰς Ἀΐδαο | καὶ σύν σοι μελεὴ κείσομαι ἀθάνατος

9. Δημητριάδα, Peek, Griechische Versinschriften 1606, 3ος αι. π.Χ.: λυπρὸν ἐφ' Ἡδίστηι Μοῖραι τότε νῆμα ἀπ' ἀτράκτων | κλῶσαν, ὅτε ὠδῖνος νύμφη ἀπηντίασεν· | σχετλίη. οὐ γὰρ ἔμελλε τὸ νήπιον ἀνκαλιεῖσθαι, | μαστῶι τε ἀρδεύσειν χεῖλος ἑοῖο βρέφους. | ἓν γὰρ ἐσεῖδε φάος καὶ ἀπήγαγεν εἰς ἕνα τύμβον | τοὺς δισσούς, ἀκρίτως τοῖσδε μολοῦσα, Τύχη.

10. Πάριον, I.Parion 52, 2ος αι. μ.Χ.: κωφὴ μὲν λίθος εἰμί, βοῶ δ' ὑπὸ γράμμασι τοῖσδε | σοί, παροδεῖτα, μαθεῖν ὅντιν' ἔχω λαγόσιν· | Ἡλείου τόδε σῆμα, τὸν ἥρπασε νηλεόθυμος | Μοῖρα καὶ εἰς Ἀΐδεω πέμψε τάχιστα δόμους, | ὅν ποτε κουρίζοντα κατ' εὐδώμητον ἀγυιάν | ἵππος ἀελλοπόδης μέρσε φίλοιο φάους.

μοῖρα με νηλειὴ<ς> καὶ λοίγιος ἵππος ἀπέκτα, | ὃν κατ' ἐμεῖο φάους ἤγαγον Αἰνεάδαι· | Ἡλεῖος δ' ὄνομ' ἔσχον, ἄγων δὲ ἔβδομον λυκάβαντα | αἴλινος ὠκύμορος ἤλυθον εἰς Ἀΐδαν.

ξεῖνε, μαθὼν παρόδευε τίνος τόδε σῆμα τέτυκται | γράμμ' ἀναλεξάμενος ἐν πλακὶ ληϊνέῃ· | ἕξ μὲν ἄγων λυκάβαντας ἀπέστιχον· οὔνομα δ' ἦν μοι | Ἡλεῖος, μοίρης δ' οἰκτροτάτης ἔτυχο[ν]· | ἵππος γάρ μ' ἔκτεινε καὶ εἰς ἀδίαυλον ἔπεμψ<εν>| Ἀΐδαν καὶ Λήθης πικρὸν ἔγευσεν ὕδωρ.

11. Όστια, SEG XXXII 1025, 3ος αι. μ.Χ.: μή με φίλοι πενθεῖτε μάτην· χαίρειν γὰρ ἄμεινον· / γηράσας λιπαρῶς ἔλαβον καμάτων ἀνάπαυλαν / οὐδ' ἔθανον, δέρκω τὸ φάος, ζωοῖσι πάρειμι· / υἱὸν θ' υἱωνοὺς γὰρ ἔχω γενεῆς ἀροτῆρας, / οἵ με δι' αἰῶνος ταναοῦ σπείρουσι γοναῖσι· / εἰ δὲ καὶ ἐν νεκύεσσι πάλιν νόος ἢ βίος ἐστὶν / ἐνθάδ' ἔχω γλυκερὴν ἄλοχον καὶ φαίδιμα τέκνα· / πένθος δ' αὖ τὸ πάροιθι κατέσβεσε μοῖρα κραταιή· / τοὔνομά μου γνῶναί γε θέλεις; λίθος ἄλκιμος αὐδᾷ· / Ὦλος καὶ Τρόφιμος κεῖμαι Φάβις ἐνθάδε σεμνός.

12. Θεσσαλονίκη, IG X.2.1.672, αυτοκρ. εποχή: τίπτε μάτην γοόωντες ἐμῷ παραμίμνετε τύμβῳ; | οὐδὲν ἔχω θρήνων ἄξιον ἐν φθιμένοις. | λῆγε γόων καὶ παῦε, πόσις, καὶ παῖδες ἐμεῖο | χαίρετε καὶ μνήμην σώζετ' Ἀμαζονίη.